Schol. in Cyrilli lexicon (Reitzenstein, Index schol. Rostoch. 1890/91 p. 8): *ζειαί· ει· ὡc cτεῖαι μνεῖαι χρεῖαι· ὡc ἐν Κόλαξιν Εὔπολιc.* — Cfr. Ar. fr. 412 K: *ἀράκουc, πυρούc, πτιcάνην, χόνδρον, ζειάc, αἴραc, cεμίδαλιν.* Pher. fr. 188 K: *κυάμουc, ἀφάκην, ζειάc, αἴραc, ἀκεάννουc.* — Xen. Anab. V, 4, 27.

15.

ὤφειλ' Ὑάκινθοc ἀποθανεῖν ἀμυγδαλῇ.

Phot. Berol. 97, 25: *ἀμυγδαλῇ· περιcπᾶται τὸ δένδρον, ἀμυγδάλη δὲ ὁ καρπὸc παροξυνεῖται. Εὔπολιc Πόλεcιν· ‚ὤφειλ' κτλ.'* Athen. II, 52 f: *Πάμφιλοc μὲν ἀξιοῖ ἐπὶ τοῦ καρποῦ βαρύνειν ὁμοίωc τῷ ἀμυγδάλῳ· τὸ μέντοι δένδρον θέλει περιcπᾶν... Ἀρίcταρχοc δὲ καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίωc προφέρεται κατ' ὀξεῖαν τάcιν. Φιλόξενοc δ' ἀμφότερον περιcπᾷ* (cf. Eupol. fr. 70 K; Ar.

fr. 590 K; Phryn. fr. 60 K) ... *Τρύφων δὲ ἐν Ἀττικῇ προσῳδίᾳ* (fr. 13 V) *ἀμυγδάλην μὲν τὸν καρπὸν βαρέως, ὃν ἡμεῖς οὐδετέρως ἀμύγδαλον λέγομεν, ἀμυγδαλᾶς δὲ τὰ δένδρα.* Idem exhibet Herodian. I, p. 321, 25 et II, p. 911, 15 Lentz.

De Hyacintho cfr. Ov. Met. X, 111 sqq.

ὤφειλ' Reitz.] *ὀφείλεν b.* — *ἀμυγδαλῇ b*] aut *ἀμυγδάλῃ* (E. Schwartz) scribendum esse videtur aut cum Reitzensteinio <*ὑπ'*> *ἀμυγραλῇ* legendum. Cum E. Schwartzio potius faciam.

16.

ἀναγχίππους.

Phot. Berol. 109, 8: *ἀναγχίππους· τοὺς ἀναγκαστικοὺς ἱππέας. Εὔπολις Πόλεσι· καὶ ἀναγχιππεῖν* (fr. 394 K) *τὸ μετ' ἀνάγκης ἱππεύειν.*

17.

τίς ἐνεβρόντησέ μοι;

. . . . . .

ὦ μοχθηρέ, τίς ἐπάταξέ σε;

Lex. Sabbait. 20, 16: <*ἐνεβρόντησε... Εὔπολις*> *Ταξιάρχοις· ‚τίς κτλ.'; εἶτα ἐπιφέρει· ‚ὦ μοχθηρέ κτλ.'* — Cfr. Men. fr. 100 K: *ἐμβεβρόντησαι.* — Xen. Hell. 4, 7, 7. — Dem. 19, 131.

Verba *ἐνεβρόντησε ... Εὔπολις* addidit Papadop.

18.

ᾠδεῖον.

Lex. Messan. 283 v 5: <*ᾠδὴ*> *σὺν τῷ ι, παρ' ὃ καὶ τὸ ᾠδεῖον. Εὔπολις* <*ἐν Χρ*>*υσῷ γένει.* — Phot. et Suid. *ᾠδεῖον· Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποιηκεν, ὥς φασι, Περικλῆς εἰς τὸ ἐπιδεικνυσθαι τοὺς μουσικούς· διὰ τοῦτο γὰρ καὶ ᾠδεῖον ἐκλήθη, ἀπὸ τῆς ᾠδῆς, ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος* (cfr. Ar. Vesp. 1109). *διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ.* Cfr. Vitruv. 5, 9.

Fragmenta incertae sedis.

19.

εἴ τις ἀποτέτιλται
αὐτῶν ὁ πέμπτος ὥσπερ εἰς ζήτρειον ἐμπεσών ⏑.

Etym. genuin. A (Reitzenstein, Index schol. Rostoch. 1890/91 p. 8): *ζήτρειον· σημαίνει τὸ τῶν δούλων δεσμωτήριον ἢ κολαστήριον ἤγουν τὸν μυλῶνα παρὰ Χιοις καὶ Ἀχαιοῖς, ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. Εὔπολις· ‚εἴ τις κτλ.'* Idem fragmentum mutilatum in-

notuit ex Etym. M. 411, 35 (fr. 348 K). Phot. Suid. *ζήτρειον· τὸ τῶν δούλων κολαστήριον.* Poll. 3, 78: *ἵνα κολάζονται οἱ δοῦλοι, μυλῶνες καὶ ζήτρεια.* — Hes. — Eustath. 837, 44. — Cfr. Ar. fr. 93 K, Theop. 63 K; Herodae V, 32.

1. *ἀποτέτιλται* Reitz.] *ἀπὸ τέτιλται* A. 2. *αὐτῶν ὁ πέμπτος* corrupta videntur Nauckio (Mél. VI, 74).

20.

ὅσον
γένοιτ' ἂν αὐτῇ βελτίω τὰ πράγματα.

Etym. genuin. A (Reitzenstein, Index schol. Rostoch. 1890/91 p. 8): *βελτίω· βελτίονα, βελτίοα καὶ κατὰ κρᾶσιν βελτίω, ὡς κρείσσονα, κρείσσοα, κρείσσω. Ἡρωδιανὸς περὶ παθῶν. Εὔπολις· ,ὅσον κτλ.' ἡ τι συλλαβὴ βραχεῖα, ὅθεν καὶ διὰ τοῦ ῑ.*

21.

ἄγαμαι κεραμέως αἴθωνος ἐστεφανωμένου.

Philetaer. Vatic. (Cohn, RhMus. 1888, 415): *ἄγαμαι σε καὶ ἄγαμαί σου· τὸ μὲν ἦθος ἔχει καὶ εἰρωνείαν, τὸ ἄγαμαί σου. Εὔπολις· ,ἄγαμαι κτλ'. τὸ δὲ ἔπαινον ὡς ἀποδεχομένου τοῦ λέγοντος. ὁμοίως λέγουσι τούτῳ καὶ τὸ θαυμάζω σε.* Cfr. Bekk. An. 335, 32: *ἄγαμαι· ἄγαμαι τούτου, ἄγαμαι κεραμεῖ, Εὔπολις* (fr. 364 K) *καὶ Ἀριστοφάνης.* — Phot. Berol. 13, 1: *ἄγαμαι τούτου, ἄγαμαι κεραμείων.*

κεραμέος Cohn (et sic iam Meineke pro Bekk. *κεραμεῖ*)] *κεράμου* cod.

κεραμεύς ab Eupolide Hyperbolus dictus esse videtur (cfr. Mein. I, 190), qui *λυχνουργός* erat, *κεραμεύς* autem idem esse quod *λυχνουργός* testatur Hes. s. v. *κεραμεύς.* — De voce *αἴθων* cfr. Hermipp. fr. 46, 7 K: *δηχθεὶς αἴθωνι Κλέωνι* et Alex. fr. 2, 2 K: *αἴθων ἀνὴρ.*

22.

ἱμάντας ἥξω δεῦρο πυκτικοὺς ἔχων.

Philetaer. Vatic. (Cohn, Rh. Mus. 1888, 417): *ὅτι πυξίδας οὐκ ἔλεγον, ἀλλ' ἱμάντας· ,ἱμάντας κτλ.' παρὰ τῷ Εὐπόλιδι.* Cfr. Suid. *ὁπλαί· αἱ πυξίδες, τῶν ἵππων οἱ ὄνυχες.* — E Philetaeri annotatione elucet caestus, quibus pugiles utebantur quique *ἱμάντες σπεῖραι βόειαι μειλίχαι σφαῖραι μύρμηκες κώδια* vocabantur, tralate etiam *πυξίδας* (ungulas) appellatos esse. De caestibus cfr. Verg. Aen. V, 401: in medium geminos immani pondere caestus proiecit, quibus

acer Eryx in proelia suetus ferre manum duroque intendere bracchia tergo. — Pausan. VIII, 40, 3: *ἱμὰς ὀξὺς ἐπὶ τῷ καρπῷ τῆς χειρὸς ἑκατέρας.* — Id. V, 21, 14: *ὁ Ἀπολλώνιος κατεσκευάσατό τε τοῖς ἱμᾶσιν ὡς εἰς μάχην.* — Plat. Leg. VIII, p. 830 b. — Grasberger, Erziehung u. Unterr. im klass. Altert. III. p. 211 sq. — Si fabula *Προσπάλτιοι* Eupolis re vera litium cupiditatem exagitare voluerat, quod Meinekius (Com. Graec. fr. I, 141 sq.) et Bergkius (Rel. com. attic. 357 sq.) coniecerunt, fragmentum ad hanc fabulam referri potest. Cfr. Plut. Mor. 80 b: *πεπαύμεθα τοὺς λόγους ὥσπερ ἱμάντας ἢ σφαίρας ἐπιδούμενοι πρὸς ἀλλήλους καὶ τῷ πατάξαι καὶ καταλαβεῖν μᾶλλον ἢ τῷ μαθεῖν τι καὶ διδάξαι χαίροντες.*

23.

κἀν ποίᾳ πόλει
τοσοῦτος <ὢν> τὸ μέγεθος ἰχθὺς τρώγεται;

Philetaer. Vatic. (Cohn, Rh. Mus. 1888, 417): *τρώγειν καὶ ἐσθίειν διαφέρει· τὸ μὲν τρώγειν ἐπὶ τῶν ἀλόγων ζῴων· ἔστι δὲ καὶ ἐπὶ τῶν ἀνθρώπων τὸ τρώγειν.* Εὔπολις· *‚κἀν ποίᾳ κτλ.'; μᾶλλον δὲ ἐπὶ τῶν τραγημάτων χρῶνται τῷ τρώγω.* — Cfr. Antiatt. Bekk. 114, 15: *τρώγειν οὔ φασι δεῖν λέγειν τὸ ἐσθιειν, ἀλλὰ τὸ τραγήματα ἐσθιειν.* — Phot. *τρώγειν· οὐχὶ τὸ ἐσθίειν ἁπλῶς, ἀλλὰ τὰ τραγήματα καὶ τρωκτὰ καλούμενα· οὕτως Ἀριστοφάνης* (Eq. 1077, Pac. 1325, Lys. 537).

τοσοῦτος ὢν Studemund] τοσοῦτο cod.

24.

ἁμαρτωλῶς.

Phot. Berol. 88, 4: *ἁμαρτωλῶς· ἐπιρρηματικῶς.* Εὔπολις.

25.

ἄνθρωπος ἐξ ὁδοῦ.

Phot. Berol. 140, 15: *ἄνθρωπος ἐξ ὁδοῦ· ἄνθρωπος ἐπιτυχὼν καὶ τῶν πολλῶν τῶν ἐν ταῖς ὁδοῖς καλινδουμένων.* Εὔπολις. — Phryn. 6, 4 Borr.: *ἄνθρωπος ἐξ ὁδοῦ· ἀντὶ τοῦ ἄνθρωπος τῶν ἐν ὁδοῖς καλινδουμένων.*

26.

οὐκ ἐς κόρακας ἀνθρωπάριον ἀποφθερεῖ;

Phot. Berol. 141, 3: *ἀνθρωπάριον·* Εὔπολις· *‚οὐκ ἐς κτλ.'* — Cfr. Nicophont. fr. 2 K: *οὐκ ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις —;* — Ar.

fr. 584 K: *οὐκ εἶ — ἐς κόρακας ἐντεῦθεν;* — Ar. Plut. 416: *ἀνθρωπαριω κακοδαίμονε.*

ἐς Reitz.] *εἰς b.* — *ἀποφθερεῖ* Wilam. Sitz. 1907, 12] *ἀποφθείρῃ b, ἀποφθερῇ* Herwerd. (BphW. 1907, 286), cum in huiusmodi locutionibus futurum desideretur.

27.

ἀνόητά γ', <εἰ τοῦτ'> ἦλθες ἐπιτάξων ἐμοι.

Phot. Berol. 143, 1: *ἀνόητα, εἰ τοῦτο ἐπιτάξεις· οἱ μὲν ἀγοραῖοι καὶ πολλοὶ οὕτως. Ἀττικῶς δὲ καὶ ἐσχηματισμένως Εὔπολις· ‚ἀνόητά γ' κτλ'.* — Phryn. 3, 8 Borr.: *‚ἀνόητά γ' κτλ'. ἀντὶ τοῦ ἀνόητος εἶ ἐπιτάττων τοῦτο. Ἀττικῶν γὰρ τὸ λέγειν· ‚ἀνόητα εἰ τοῦτ' ἐπιτάξεις',* unde Kock fr. ad. 577. exscripserat.

<εἰ τοῦτ'> e Phryn. supplevit Reitz. — *ἦλθες*] *ἦθες b.* — Initio glossae fuisse *ἀνόητος εἶ, εἰ τοῦτο ἐπιτάξεις* suspicatur Reitz.

HERMIPPUS.

1.

κάτειπε πόθεν εἶ μηδέ <τι> ψεύσῃ μάτην.

Lex. Messan. 283 r 15: *ψεύσῃ σὺν τῷ ι, τὸ ὑποτακτικόν· Ἕρμιππος Ἀγαμέμνονι, κάτειπε κτλ'.* — Cfr. Hom. Il. Δ, 404: *μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.* — Od. δ, 140: *ψεύσομαι ἢ ἔτυμον ἐρέω;*

Hermippi fabula *Ἀγαμέμνων* adhuc ignota erat. Kock (RhM. 48, 238) suspicatur Hermippum parodiam scripsisse, cui *Ἀγαμέμνων* inscriptum fuerit. De Hermippi parodiis cfr. Mein. Hist. crit. com. gr. p. 92.

τι addidit Rabe.

2.

ἀμυλλιδωτόν.

Phot. Berol. 98, 8: *ἀμυλ<λ>ιδωτόν· χιτωνισκου τι γένος καλοῦσιν. Ἕρμιππος Θεοῖς.* — Hes. *ἀμυλλίδωτον· χιτῶνος εἶδος,* ubi Ruhnken. *ἀλυσίδωτον* (lorica conserta hamis) coniecerat. Cfr. Polyb. VI, 23, 15: *ἀλυσιδωτοὺς... θώρακας.* Diodor. V, 30: *θώρακας... σιδηροῦς ἀλυσιδωτούς.* Strab. III, 6 (154): *λινοθώρακες οἱ πλείους· σπάνιοι δὲ ἀλυσιδωτοῖς χρῶνται.*

ἀμυλλιδωτόν Reitz.] *ἀμυλίδωτον b.*

Ex incerta fabula.

3.

ἄδραστα.

Phot. Berol. 34, 3: *ἄδραστα· ἀποίητα. Ἕρμιππος.* — Phryn. 9, 2 Borr.: *ἄδρατα· ἀποίητα. ἃ γὰρ πεποιηται, δέδραται.* — Hes. *ἄδραστον· ἄπρακτον, ὃ οὐκ ἄν τις πράξειεν.*

MAGNES.

1.

ἀμφορίσκον.

Phot. Berol. p. 104, 23: *ἀμφορεαφόρους· τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. καὶ ἀμφορεαφορεῖν καὶ ἀμφορείδιον καὶ ἀμφορείδια Ἀριστοφάνης* (fr. 299, 3; Pac. 202; Eccl. 1119), *ἀμφορίσκον δὲ Μάγνης.* Cfr. Dem. 22, 76.

MENANDER.

1.

καὶ τῶν Ἅλῃσι χωρίον
κεκτημένος κάλλιστον εἶ, νὴ τὸν Δία,
ἐν τοῖς τρισίν γε, καὶ τὸ μακαριώτατον
ἄστικτον.

Etym. genuin. A (Reitzenstein, Index schol. Rostoch. 1890/91 p. 8): *ἄστικτον· οὕτως Ἀττικοὶ ἐκάλουν τὸ ἐλεύθερον χωριον καὶ μὴ ὑποκείμενον χρηστῇ. εἴρηται δὲ ὅτι τοῖς ὑποκειμένοις χρέεσιν χωρίοις εἰώθεσαν ἐγκαταπηγνύειν στήλην, ἣν ἐκάλουν ὅρον, ἐν ᾗ ἐκεχάρακτο τὸ χρέος καὶ ὁ χρηστής, ἵνα μὴ πλανηθεὶς ἕτερος ὡς ἔτι καθαρῷ αὐτῷ δανείσῃ. τὸ δὲ ἐλεύθερον ἄστικτον ἐκάλουν. Μένανδρος· ‚καὶ τῶν Ἅλῃσι κτλ.'* — Quod fragmentum collatis Terenti Heaut. vv. 61 sqq.: ‚nam pro deum atque hominum fidem, quid vis tibi? | quid quaeris? annos sexaginta natus es | aut plus eo, ut conicio; agrum his regionibus | meliorem neque preti maioris nemo habet' cum Menandri fr. 140 K in unum cogit Reitzenstein sic supplens:

<τί γὰρ>
πρὸς τῆς Ἀθηνᾶς δαιμονᾶς, γεγονὼς ἔτη
τοσαῦθ'; ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι
<ἢ καὶ πλέον,> καὶ τῶν Ἅλῃσι κτλ.

Quam coniecturam probatam Wilamowitzio (NJahrb. f. klass. Altert. 1899, 525 sq.) et Kretschmaro (p. 58) improbat Peppmüller (BphW. 1891, p. 980 adn.) propterea quod Terenti versus nimis ab hac ecloga discedant. Equidem cum Reitzensteinio facio atque nullus dubito, quin fragmentum ad fabulam *Ἑαυτὸν τιμωρούμενος* referam. Idem Peppmüller contra Wilamowitzium (l. c.) et qui illum secutus est Legrandium (Rev. des ét. Grec. 1903, 356) contendit a Menandro non Aexonides, sed easdem Halas Araphenides hic indicari, in quibus fabulae *Ἁλαεῖς* scena fuerit teste Herodiano (I, p. 540, 15 Lentz), Stephano Byz. 68, 2 Mein., Crameri An. Par. I, p. 397, 25. — Ad nostrum

locum spectare videtur Schol. Lucian. Iov. Trag. 48: *Μένανδρος ἄστικτον χωρίον εἰώθει λέγειν τὸ ἀνεπιδάνειστον*, unde Men. fr. 968. exscripserat Kock. Cfr. Hes. *ἄστικτον τὸ ἀνέπαφον χωρίον, τὸ γὰρ ὑποκειμενον ἐστίχθαι ἐλέγετο.* — Polluc. 3, 85: *λίθος ἦν ἡ στήλη τις δηλοῦσα, ὡς ἔστιν ὑπόχρεών τινι τὸ χωρίον, ἐπὶ δὲ τούτου ἐλέγετο ἐστίχθαι τὸ χωρίον, ὡς τὸ ἐναντίον ἄστικτον.* Harpocrat. I, p. 62, 14 Dind.: *ἄστικτον χωρίον· τὸ μὴ ὑποκείμενον δανειστῇ· ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ, τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γινεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.*

2. *εἶ, νὴ* Reitz.] *ἦν ἢ* A. — 3. *τρισίν γε* metri causa Reitz.] *τρισίγε* A. Quid haec verba significent, hodie perspici non potest. Fortasse subaudiendum: *κάλλιστον... ἐν τοῖς τρισίν γε καλοῖς χωρίοις*, quae iam antea commemorata esse videntur.

2.

ἄγγαρος ὄλεθρος. ἡδέως ἄν μοι δοκῶ
ὅμως πεπονθὼς ταῦτα νῦν ταύτην ἔχειν.

Phot. Berol. 11, 6: *ἄγγαροι· οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι. τὰ δὲ ὀνόματα περσικά... τίθεται τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως τῶν ἀναισθήτων καὶ ἀνδραποδωδῶν... Μένανδρος... ἐν Προγαμοῦντι* (sequitur fr. 9 D) *...καὶ ἐν Θαΐδι ὁ ἀκρατής, ἄγγαρος κτλ.* — Cfr. Phryn. 21, 12 Borr. (Plat. fr. 376 K): *ὄλεθρος ἄνθρωπος.* Ar. Lys. 235: *γερόντων ὀλέθρων.* Lucian. Dial. mort. 9, 4: *ὀλέθρῳ τινὶ ἀνθρώπῳ.* — De *ὅμως* c. part. = *καίπερ* cfr. Ar. Lys. 276. — Soph. Trach. 1105.

ἐν Θαΐδι ὁ ἀκρατής Wilam.] *ἔνθα ἰδίῳ ἀκρατής ab.* — 2. *ἔχειν* Wilam.] *ἔχει ab.*

3.

ἀναπετῶ.

Phot. Berol. 118, 1: *ἀναπετῶ· ἀναπετάσω. Μένανδρος Θεοφορουμένῃ.* Cfr. Zonar. 204. Suid. s. v. *ἀναπετῶ.* Men. fr. 26 et 458 K.

4.

ἑκκαίδεκα
κεῖνθ' ἀμίδες.

Phot. Berol. 91, 25: *ἀμίδα· δασέως... καὶ ὅλως τῇ δασείᾳ προσῳδίᾳ χαίρουσιν οἱ Ἀττικοί, καὶ παρὰ Μενάνδρῳ λέγεται ἐν τῇ Θετταλῇ διὰ τοῦ θ ἡ συναλοιφὴ αὕτη· ,ἑκκαίδεκα κτλ.'* — Cfr. Eupol. fr. 4 D, Aristoph. fr. 41 D.

ἐν τῇ Θετταλῇ Reitz.] ἐν τῷ ϑέτῃ *b*. — συναλοιφὴ] συναλειφὴ *b*. — ἑκκαίδεκα κεῖνϑ' Reitz.] ἑκκαίδεκάκινϑ' *b*.

5.

οὐκ ἀδελφός, οὐκ ἀδελφὴ παρενοχλήσει, τηϑίδα
οὐδ' ἑώρακε<ν> τὸ σύνολον, ϑεῖον οὐδ' ἀκήκοεν.
εὐτύχημα δ' ἐστὶν ὀλίγους τοὺς ἀναγκαίους ἔχειν.

Phot. Berol. 108, 3: ἀναγκαῖον πολεμισταί· κατὰ ἀνάγκην πολεμικοὶ γεγονότες γέροντες ὄντες ὅ τε Λαέρτης καὶ ὁ Δόλιος (et sic etiam Hes.). καὶ οἱ προσήκοντες κατὰ γένος. Μένανδρος Θυρωρῷ· ‚οὐκ ἀδελφός κτλ.' — Versum 3. citat etiam Eust. p. 1894, 38 omisso poetae nomine. Fragmentum correxit Wilam. (Sitzungsb. 1907, 10) collato Men. fr. 923 K. — ‚Beatus, qui paucos habet propinquos atque necessarios, cum si male se gerat in iuventute a nemine admoneatur, ut pravos mores suos corrigat, sicuti ille, qui necessariis abundat (fr. 923)'.

Utrumque fragmentum quin in eadem fabulae parte fuerit haud dubitandum est. Menandri fabula Θυρωρός adhuc ignota erat. Fabulam cognominem scripsit Philemon (Kock II, 487).

1. τηϑίδα (cfr. fr. 923, 5) Wilam.] Τιτϑίδᾳ *b*, Τιτϑίδα Reitz. p. XXV. — 2. ἑώρακεν pro ἑόρακεν hic primum metro firmatum apparet. Blass (RhM. 1907, 271) ἑωράκει — ἠκηκόει scribendum esse suspicatur, nullo tamen firmo argumento usus. — ϑεῖον *b* et Wil.] ϑεῖος Reitz. — 3. ὀλίγους τοὺς Reitz.] ὀλιγοστοὺς *b*.

6.

καὶ Λαμπρίας ὄπισϑεν ἀλάβαστον φέρων.

Phot. Berol. 70, 4: ἀλαβαστοϑήκας· <τὰς ϑήκας τῶν ἀλαβάστων> Δημοσϑένης (19, 237) <λέγει>, ἃς ἐν τῇ συνηϑείᾳ μυροϑήκας καλοῦσιν. ἀλάβαστοι δέ εἰσι λήκυϑοι, ὧν οὐκ ἔστι λαβέσϑαι διὰ λειότητα. <ἀλάβαστος>· οὕτως Μένανδρος ἄνευ τοῦ ρ̄ Ὀργῇ· ‚καὶ Λαμπρίας κτλ.' σημαίνει δὲ μυροϑήκην· ἔνιοι δὲ αὐτὴν προάγουσι σὺν τῷ ρ̄. — Cfr. Bekk. An. 375, 12; Suid. s. v. ἀλαβαστοϑήκας. — Bekk. An. 374, 6: ἀλάβαστρον· ἄγγος μύρου μὴ ἔχον λαβάς, λίϑινος ἢ ψήφινος μυροϑήκη· γράφεται δὲ ἡ λέξις μάλιστα καὶ χωρὶς τοῦ ρ̄ παρὰ Μενάνδρῳ (fr. 990 K). — Eust. 1161, 29: τὸ ἀλάβαστρον παρὰ Μενάνδρῳ ἄνευ τοῦ ρ̄ κατὰ Αἴλιον Διονύσιον. Cfr. etiam Et. Mag. 55, 30; Cratet. fr. 55, 6; Alexid. fr. 62 et 143 K; Aristoph. Ach. 1053, Lys. 947. — De Lampria cfr. Men. fr. 6, 4 K et Euphron. fr. 1, 8 K.

Nomen fabulae Ὀργή ex Reitzensteinii coniectura profectum est, nam in cod. *b* ῥήγη exstat. Cetera supplevit Reitz. collatis Bekkeri Anec. et Suida.

7.

ἐμφαίνεται,
ὅτι πρόσφατος ἦν ἐπιχώριος. — B. *καὶ τοὔνομα*
τί λέγεις; — A. *ἀλάστωρ, φησί.*

Phot. Berol. 71, 15: *ἀλάστωρ· ὁ ἁμαρτωλός... καὶ δαίμων τις καλεῖται ἐπεξιὼν τοὺς ἄλαστα εἰργασμένους, καὶ αὐτὸς ὁ πράξας τι τοιοῦτον, μάλιστα δὲ φόνον αὐτοχειρίᾳ. Περικειρομένῃ Μένανδρος* (v. 408 Koerte) *‚ὁ δ' ἀλάστωρ ἐγὼ καὶ ζηλότυπος ἄνθρωπος'. <καὶ> ἐν Ὀργῇ· ‚ἐμφαίνεται κτλ.'* — Cfr. Bekk. An. 184, 6; 374, 22; Phot. Amphil. (Herm. 26, 256); Eust. 474, 22; Et. Gud. 81, 7 Stef.; Et. Mag. 57, 25. — Baton. fr. 2, 5 K: *ἄνθρωπ' ἀλάστωρ.*

πρόσφατος Reitz.] προσφάτως *b.* — ἐπιχώριος coni. Reitz.] ἐπὶ χωρία *b.* — Inter duas personas distribuit E. Schwartz.

8.

δαιμόνων ἀλαστόρων.

Etym. Mag. 57, 25: *ἀλάστωρ· ὁ ἁμαρτωλὸς ἢ ὁ φονεὺς ἢ ὁ ἐφορῶν τοὺς φόνους Ζεὺς... Μένανδρος* (Perik. 408 Koerte) *‚ὁ δ' ἀλάστωρ ἐγὼ καὶ ζηλότυπος ἄνθρωπος' καὶ ‚δαιμόνων ἀλαστόρων'.* Et. Gud. 81, 8 Stef.: *ἀλάστωρ· ὁ φονεὺς καὶ ὁ ἐφορῶν τοὺς φόνους Ζεὺς ἢ δαίμων, καὶ ‚δαιμόνων ἀλαστόρων'.* — Suid. *ἀλάστωρ· πικρὸς καὶ φονικὸς δαίμων, τιμωρῶν καὶ ἀνεπίληστα ἔργα ποιῶν.* — Zonar. 116. — Xenarch. fr. 1, 3 K: *ἀλάστωρ τ' εἰσπέπαικε Πελοπιδῶν.* — Men. fr. 7 D.

Menandri fragmentum agnovit Reitzenstein; ad Periciromenen possit referri.

9.

βάρβαρος
ἄγγαρος ὄντως κοὐδενὸς προορώμενος.

Phot. Berol. 11, 5: *ἄγγαροι· οἱ ἐκ διαδοχῆς γραμματοφόροι, οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι, τὰ δὲ ὀνόματα περσικά... τίθεται δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως τῶν ἀναισθήτων καὶ ἀνδραποδωδῶν. ...Μένανδρος Πωλουμένοις* (sequitur fr. 10 D) *...καὶ ἐν Προγαμοῦντι· ‚βάρβαρος κτλ.'* — Cfr. Eust. 1854, 27; Suid., Hes., Et. Gud. 8, 24 Stef. — Sext. Empir. 681, 2 Bekk. (Plat. fr. 220 K): *παραπλησίως τοῖς νυκτὸς περιπατοῦσι παρὰ τὰ τείχη καθάπερ τινὰς ἀγγάρους κατάγεσθαι.*

Fabulae titulum fuisse *Προγαμῶν* verisimile est.

10.

ἀγγαροφόρει καὶ ταῦϑ' ἃ νῦν ποιεῖς, ποίει,
ἐξὸν διαρρηγνύμενον ἀγαϑῶν μυρίων,
ϲιτιζόμενον τὴν νύκτα καὶ τὴν ἡμέραν
διάγειν.

Phot. Berol. 11, 3: ἄγγαροι· οἱ ἐκ διαδοχῆς γραμματοφόροι ...καὶ τὸ ἀγγαροφορεῖν ἐπὶ τοῦ φορτία φέρειν ἄλλως τε καὶ ἐκ διαδοχῆς. Μένανδρος Πωλουμένοις· ‚ἀγγαροφόρει κτλ.' — Bekk. An. 325, 10: ἀγγαροφορεῖν· τὸ κατὰ διαδοχὴν πεμπόμενόν τι φορτίον. — Suid. s. v. ἄγγαροι... ἀγγαροφορεῖν ἐπὶ τοῦ τὰ φορτία φέρειν. — Cfr. Zonar. 36; Eust. 1834, 29; Et. Mag. 6, 45. — Procop. Aedif. 2, 4: ὥϲπερ ἄλλο τι ἀγγαροφοροῦντεϲ. — De voce διαρρήγνυϲϑαι cf. Anaxil. fr. 25 K, Phoenicid. fr. 3 K. — Antiph. fr. 86 K: ϲιτιζομένουϲ καὶ πάντ' ἔχονταϲ ἀφϑόνωϲ.

1. ἀγγαροφόρει Reitz.] ἀγγαροφορεῖ *a b*. — ταῦϑ' ἃ Reitz.] ταῦϑα *b*, ταῦτα *a*. — ποιεῖϲ *b*] ποιεῖ *a*. — ταῦϑ' ἃ νῦν ποιεῖϲ, ποίει Reitz. collat. Ar. Eq. 213. ταῦϑ' ἅπερ ποιεῖϲ, ποίει. — πάντα νῦν ποιῶν πονεῖ falso Wilam. — ϲιτιζόμενον Fredrich] ϲιτιζομένων *a b*.

11.

οὐκ ἔμβαροϲ.

Β. τί ἔμβαροϲ; ἀρχαϊϲμὸϲ οὗτοϲ ῥημάτων.

Lex. Sabbait. 18, 16: <ἔμβαροϲ...> Μένανδροϲ Ῥαπιζομένῃ· ‚οὐκ ἔμβαροϲ κτλ. — Versus sic constituerunt Reinach (Rev. des ét. gr. 1892, 325), Kock (RhM. 1893, 589), Kretschmar (De Men. rel. 110). Papadop. et Blayd. (Adv. II, 347) numerorum ratione non habita sic distribuerunt: οὐκ ἔμβαροϲ εἶ. — | ἔμβαροϲ; κτλ.' — Quid ἔμβαροϲ significaret, iam antiqui grammatici ignorabant. Cfr. Suid. = νουνεχής, φρόνιμοϲ. Hes. = ἠλίϑιοϲ, μωρόϲ, ἢ νουνεχής (= Men. fr. 502 K). Lex. Sabb. 19, 2: τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων. Sed fortasse hoc loco vera est interpretatio, quae legitur in Corp. gloss. Latin. III, p. 562, 12 Goetz: embaros· gravida. Colloquuntur duae personae, quarum altera ad verba οὐκ ἔμβαροϲ cum irrisione respondet illud ἔμβαροϲ esse ἀρχαϊϲμόν. Cfr. Ar. Nub. 821: φρονεῖϲ ἀρχαικά. 984: ἀρχαῖά γε καὶ διπολιώδη.

Lemma add. Pap. — 1. οὐκ ἔμβαροϲ. — τί Kock] οὐκέμβαρον. εἰ cod. — 2. ἀρχαϊϲμόϲ Pap.] ἀρχαϊϲμὸν cod.

12.

τὸν ἄμητα, Χαίριππ', οὐκ ἐϲ Ἅιδου πέμπετε;
Β. τίν' ἄμητ' ἐν Ἅιδου προϲδοκᾷϲ;

Phot. Berol. 92, 3: <ἄμης·> πλακοῦντος γένος. Μένανδρος Ὑποβολιμαίῳ· ,τὸν ἄμιτα Χαρίππου κατὰ ἅδην πέμπει τινὰ ἄμιτα ἐν ἅδου προσδοκᾷς'. ἔστι καὶ παρὰ τοῖς παλαιοῖς τὸ ὄνομα (sc. ἄμης) κωμικοῖς (cfr. Ar. Plut. 999; Antiph. fr. 89 K; Alexid. 163, 5; Amphid. 9, 3; Ephipp. 8, 3; Anaxandr. 41, 56). — Idem fragmentum admodum corruptum iam ex Athen. XIV, 644 f innotuit (Men. fr. 491 K): τὸν ἄμητα, χαίριππ', οὐκ ἐᾷς πέττειν τινά (ἐμέ Blayd. Adv. II, 217 et Herwerd. Coll. 166).

Versus sic ut scripsi constituit Reitzenstein (p. XXVI). Qui sit sensus, in tali fragmenti brevitate perspici non potest.

13.

Ἀμφιετίδαι.

Phot. Berol. 100, 24: Ἀμφιετίδαι· οἱ μωροί. ἀπὸ Ἀμφιετίδου τινὸς μωροῦ. Μένανδρος Ὑποβολιμαίῳ. — Bekk. An. 211, 29: Ἀμφιετίδης καὶ Μελιτίδης· οὗτοι ἐπὶ ἀνοίᾳ διεβάλλοντο. Quos coniungit etiam Eust. 1669, 51. — Cfr. Suid. s. v. γέλοιος... γελοιότερον Μελιτίδου· ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων. Μελιτίδης γὰρ ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ, κατὰ ταὐτὰ τῷ Ἀμφιστείδῃ... ὁ δὲ Ἀμφιστείδης ἠγνόει ἐξ ὁποτέρου γονέων ἐτέχθη. Phot. Μελητίδης· εἷς καὶ οὗτος τῶν εὐήθων, ὡς ὁ Μαργίτης ὃς οὐκ ᾔδει πλέον τῶν πέντε ἀριθμεῖν· τοιοῦτος δὲ καὶ ὁ Κόροιβος καὶ ὁ Ἀμφιστείδης (Ἀμφιετίδης Naber). — De Meletide cfr. Ar. Ran. 991.

14.

πότων τε καὶ κώμων ἅπαντες ᾔδεμεν.

Etym. genuin. A (Reitzenstein, Index schol. Rostoch. 1890/91 p. 9): ᾔδεισθα· ἀπὸ τοῦ ᾔδειν γίνεται κατὰ ἔκτασιν... τούτου τὰ πληθυντικὰ ᾔδειμεν ᾔδειτε ᾔδεισαν, καὶ κατ' ἔλλειψιν ᾔδεμεν. Μένανδρος Φανίῳ· ,πότων κτλ.' — Cfr. Apollodor. Car. fr. 5, 21 K. — Eubul. fr. 94 K. — Herod. 1, 121: πίνειν καὶ κώμῳ χρέεσθαι ἐς ἀλλήλους.

Ex incertis fabulis.

15.

τὸ μὲν ἐξαμαρτάνειν ἅπασιν ἔμφυτον
καὶ κοινόν, ἀναδραμεῖν δὲ τὴν ἁμαρτίαν
οὐ τοῦ τυχόντος ἀνδρός, ἀλλ' ἀξιολόγου.

Clem. Alex. Paedag. III, 12, 93 (p. 287, 10 Stählin): τὸ μὲν

γὰρ ἐξαμαρτάνειν πᾶσιν κτλ.' — Menandri versus agnovit Blass (Herm. 1900, 341) collat. Suid. et Zonar. ἀνατρέχω· Μένανδρος (fr. 993 K) ἀντὶ τοῦ ἀναλύω. Verbo ἀναλύειν (= satisfacere de iniuria) usus est etiam Demosth. 21, 275. — Cfr. Men. fr. 448 K. — Adiectivum ἀξιολόγος de viro dictum apud Menandrum non legitur, sed tritum est apud Atticos; cfr. Thuc. II, 10, 3; VI, 60, 2; Xen. Men. III, 9, 3.

16.

ὡς τοῖσιν εὖ φρονοῦσι σύμμαχος τύχη·
ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμον' οὐ νομιστέον
εἶναι βίον βλάπτοντα θνητὸν οὐδ' ἔχειν
κακίαν, ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν.
ἀλλ' οἱ γενόμενοι τοῖς τρόποις αὐτοὶ κακοί·
πολλὴν δ' ἐπιπλοκὴν τοῦ βίου πεποιημένοι
<κα>ὶ πάντα τὴν αὐτῶν ἀβουλίαν <παρ>ὲκ
τρίψαντες ἀποφαίνουσι δαίμον' αἴτιον
καὶ κακὸν ἐκεῖνόν φασιν αὐτοὶ γεγονότες.

Hauler (Eranos Vindob. p. 335) in codice Paris. gr. 454, quo Origenis de Hiob libro commenta continentur, fol. 126 a haec invenit: μαρτυρεῖ δέ μοι τῷ λόγῳ ὅσος ὑποφήτης Μένανδρος ,ὡς τοῖσιν κτλ.' οὐκοῦν κατ' αὐτὸν οὐδενὸς κακοῦ αἴτιος ὁ θεός. E quibus versibus iam pridem innotuerunt: v. 1 ex Euripidis fr. 598, 3 N² et mon. 462. — v. 2—6 omissis verbis οὐδ' ἔχειν κακίαν e Clem. Alex. Strom. V, 14, 130; v. 2—5 ex Euseb. Praep. ev. XIII, 13; v. 2—3 ex Plut. Mor. 474 b; Ammian. Marcell. XXI. 14; Stob. Ecl. I, 5 (4); Schol. Theocr. II, 28. Cfr. Men. fr. 550/551 K.

1. σύμμαχος ut μυσταγωγός cod.] συμμαχεῖ Eurip. et mon. 462. — 2. ἀνδρὶ omisit cod., ex Clem. Alex. et aliis addidit Hauler. — συμπαρίσταται cod. et alii praeter Plutarchum, qui συμπαραστατεῖ exhibet; Plutarchi lectionem praefert Blayd. Adv. II, 222. — 3 μυσταγωγὸς cod., alii] παιδαγωγός sine causa Blaydes. — 4. δαίμον' οὐ νομιστέον ex Clem. Al. reposuit Hauler] δαίμονα οὐ νομαστέον cod. — 5. βίον οὐ βλάπτοντα cod.] οὐ ex dittographia ortum delevit Hauler. — θνητόν cod.] χρηστόν Clem. probante Usenero (Rh. Mus. 1900, 338), qui verba οὐδ' ἔχειν κακίαν ut ineptam tautologiam delet. — 6. εἶναι τὸν ex ἐννοητέον corruptum esse putat Palmer (Class. Review 1889, 24) iure improbante Herwerdeno (Collect. 169). — 9. 10. καὶ πάντα — δαίμον' Hauler] εἰ πάντα τὴν ἑαυτῶν ἀβουλίαν ἐκτρίψαντες ἀ. δαίμονα cod.; εἶτα δι' ἑαυτῶν τὴν ἀβουλίαν <κακῶς> | τρίψαντες Gomperz; ἀβουλίαν ἐκ<εῖ> | τρίψαντες vel καὶ πάνθ' ἑαυτῶν

τὴν ἀβουλίαν <παρ>ἐκ sive ἐκ<εἰ> | τρίψαντες proponit Hauler. — 11. ἐκεῖνόν φ. Hauler] ἐκεῖνό φ. cod.

De vv. 4—7 sententia cfr. Plat. Civ. II, p. 379 c: *οὐδ' ἄρα ...ὁ θεός, ἐπειδὴ ἀγαθός, πάντων ἂν εἴη αἴτιος, ὡς πολλοὶ λέγουσιν, ἀλλ' ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος· καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν.* ib. p. 380 b: *κακῶν δὲ αἴτιον φάναι θεόν τινι γιγνεσθαι ἀγαθὸν ὄντα, διαμαχετέον παντὶ τρόπῳ.*

Fragmentum e fabula *Ὑποβολιμαῖος ἢ Ἄγροικος* desumptum esse suspicatur Hauler collatis fr. 482/483 K.

17.

Νηρής τις ἐπὶ δελφῖνος.

Lex. Messan. 281 r 15: *Νηρῇδες σὺν τῷ ῑ ὡς Βρισῇδες ...συναιροῦντες γὰρ ἔλεγον Ἀττικοί ...ἐπὶ δὲ τῆς εὐθείας ἑνικῆς Μένανδρος ,Νηρής τις κτλ.'* — Cfr. Suid. *Νηρής· κατὰ συναίρεσιν ἐκ τοῦ Νηρηίς· ὥσπερ καὶ τὸ Χρυσηίς Χρυσής.* — Et. M. 604, 54; Zonar. 1398.

18.

υ — ἔφηβος, μειράκιον, ἀνήρ, γέρων.

Philet. Vatic. (Cohn, Rh. Mus. 1888, 415): *μειράκιον καὶ μεῖραξ διαφέρει· μειράκιον μὲν γὰρ ὁ ἄρρην· ἔστι δὲ ἡλικίας ὄνομα, ὥς που διαστέλλει καὶ ὁ Μένανδρος λέγων· ,ἔφηβος κτλ.' μεῖραξ δὲ ἡ θήλεια. εἰ δέ ποτε λεχθῇ ἐπὶ τοῦ ἄρρενος ἐν τῇ κωμῳδίᾳ τὸ τοῦ μείρακος ὄνομα, δῆλον ὡς κωμῳδεῖται εἰς κιναιδίαν ὁ ἄρρην.* — Cfr. Herodian. I, p. 524, 11 et II, p. 8, 10 Lentz: *τὸ μεῖραξ ἐπὶ θηλυκῷ τιθέμενον... οὐκ ἀγνοῶ δὲ ὡς ἔσθ' ὅτε οἱ κωμικοὶ καὶ ἀρσενικῷ γένει τὴν σύνταξιν ποιοῦνται· ἀλλ' εἰκὸς αὐτοὺς θηλυκῇ προσηγορίᾳ σκώπτειν πασχητιῶντας.* — Schol. Lucian. Pseudosoph. 5: *τὸ μεῖραξ οὐ φασὶν ἐπὶ ἀνδρὸς λέγεσθαι, ἀλλ' ἐπὶ γυναικὸς ἡβώσης· ἐπὶ δὲ ἀνδρὸς μειράκιον λέγουσιν.* — Phryn. Lobeck. 212. — Et. M. 582, 55. — Zonar. 1346.

Initio *βούπαις* suppleverit Herwerd. Coll. 167.

19.

Philodem. *περὶ εὐσεβείας* (Gomperz, Herkul. Studien. II, p. 42, 5): *λέγουσι <δέ τι>νες, οὓς καὶ Μέν<αν>δρος παραινι<ττε>ται, καὶ τὴν Ἑ<κάτην> ὀπαδὸ<ν Ἀρ>τέ<μι>δος> εἶναι.* — *Ἑκάτη* vocatur Dianae *ὀπαδός*, quam vocem He-

sychius ἀκόλουθος, συνεργός, δοῦλος interpretatur. Cum vox ὀπαδός apud tragicos poetas fuerit usitatissima, de tragicis quibusdam poetis Menandrum cogitasse suspicatur Kretschmar (p. 117).

20.

τίνος
τἀγαθὸν τοῦτ' ἐστιν;

Phot. Berol. 9, 5: ἀγαθὸν τίνος· ἀντὶ τοῦ τινος ἕνεκα. Μένανδρος· ‚τινος κτλ.' — Versus trochaici sunt.

τὸ ἀγαθὸν a b] ποτ' ἀγαθὸν E. Schwartz. prob. Reitz.; Blass (RhM. 1907, 271) ἀγαθὸν praedicatum esse censet articulumque delet; codicis lectionem iure tuetur Wilam. Sitz. 1907, 9) sic interpretans: τί περιγίνεται ἐκ τούτου, ὥστε ἀγαθὸν αὐτὸ καλεῖσθαι.

21.

εἴδωλον ἀμαυρόν.

Phot. Berol. 88, 13: ἀμαυρὸν δὲ Ὅμηρος (δ, 824)· ‚εἴδωλον ἀμαυρόν'. οὕτως καὶ Μένανδρος. Quae verba dixisse videtur Menander Homerum irridens.

22.

ἤκουσα τῶν ἐκκραγγανομένων.

Phot. Berol. 114, 4: ἀνακραγγάνειν λέγουσιν οὐκ ἀνακραυγάζειν, καὶ ἀνέκραγε. καὶ παρὰ Μενάνδρῳ· ‚ἤκουσα κτλ.' — Suid. ἐκκραγγανομένων· μετὰ κραυγῆς λεγομένων. Et sic etiam Zonar. 673. — Cfr. Hes. ἐκκραγεῖν· βοῆσαι.

Initium trimetri esse putat Blass (RhM. 1907, 271), Reitzenstein (p. XXVI) autem lyricis numeris haec scripta esse censet, quod verum esse videtur.

23.

ἀνδραποδοκλέπτης.

Phot. Berol. 126, 1: ἀνδραποδοκλόπος· Σοφοκλῆς, ἀνδραποδοκλέπτης δὲ Μένανδρος. — Cfr. ἀνδραποδοκάπηλος (Bekk. An. 393, 27).

Fragmenta dubia.

24.

ἔα κεκρύφθαι λανθάνουσαν ἀτυχίαν·
τὸ γὰρ ἐξελέγχειν τὴν ὕβριν διττὴν φέρει.

Buresch (Klaros p. 125) versus ex libro χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν exscripsit atque Menandro tribuit cum propter eos qui

praecedunt Menandri versus tum collato Men. fr. 674 K: *οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν | ἔστ', ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν.* Cfr. Eur. fr. 553 N²: *ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας | εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.*

τὴν ὕβριν διττὴν φέρει Buresch] *διττὴν φέρει τὴν ὕβριν* cod. T.

25.

Ioan. Malalae Chronogr. XIV p. 370, 20 Dind.: Isocasius philosophus, cum manibus post tergum devinctis vestimentoque corpore detracto ad Pusaeum, praefectum praetorii, adductus ab eoque interrogatus esset, *ὁρᾷς σαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι κατέστηκας*, respondit: *ὁρῶ καὶ οὐ ξενίζομαι· ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς.* Similiter Anonymus qui Cassii Dionis Historias continuavit (Hist. graec. fragm. IV, p. 198 Müller) Diocletianum loquentem facit: *ὅτι καὶ διὰ τὸ* (*διὰ τοῦτο* Müller) *τιμῆς αὐτὸν ἀθανάτου* <*τε*> *τετυχηκότα χρῆναι μεμνῆσθαι, ὅτι θνητός ἐστι καὶ τῶν ἀνθρωπίνων συμφορῶν οὐκ ἀλλότριος.* Menandri versum ex fabula *Ἑαυτὸν τιμωρούμενος* excerptum sub alterutra lectione latere putat Gleye (Byz. Zeitschr. V, 337) collato Terenti Heaut. 77: homo sum: humani nil a me alienum puto. Malalae verba versum efficiunt: *ἄνθρωπος γὰρ ὢν | ἀνθρωπίναις κτλ.* De aoristo *ἔπεσα* cfr. Lobeck. ad Phryn. p. 724.

Ad Menandrum referri possunt fr. adesp. 13, 21, 26 D.

MENECRATES.

1.

ἀλλ' ὥσπερ παῖς ὅταν ἀστραγάλους ἐκκόψας ἀνταποπαίζῃ.

Phot. Berol. 145, 13: *ἀνταποπαίζειν· ὅταν τις παίζων ἀστραγάλοις ἢ ψήφοις* <*ἢ*> *καὶ καρύοις ἢ καὶ κυβεύων ἐπ' ἀργυρίῳ νικήσῃ, εἶτα αὖθις νικᾶται ὃ ἐνίκησε. Μενεκράτης Μανέκτορι ‚ἀλλ' ὥσπερ κτλ.'* — Idem sine Menecratis loco etiam Phryn. 45, 3 Borr. De *ἐκκόψαι* i. q. *νικῆσαι* cfr. Antiatt. Bekk. 92, 5: *ἐκκόψαι· ἀντὶ τοῦ νικῆσαι κύβοις. Ἄλεξις Δακτυλίῳ* (fr. 44 K). Suid. — Zonar. 671. — Hes. *ἐκκεκομμένος· ὁ διὰ τοῦ κυβεύειν τὰ αὑτοῦ ἀπολέσας.* Tetrametr. anap. e parabasi sumptus esse videtur. Cum puero, qui quae in talorum lusu lucratus erat postea rursus perdidit, po-

eta comparatur, qui primo olim praemio ornatus postea alterum sibi poetam praelatum esse videt (Koerte Burs. Jabrb. 1911, 249).

Μενεκράτης Μανέκτορι Reitz.] *φερεμενέκτορι b.* — *ἀνταποπαίζῃ* Reitz.] *ἀνταποπαίζειν b.*

NAUSICRATES.

1.

εὕρηκε.

Excerpta ex libris Herodiani technici ed. Hildegard (adn. ad pag. 30, 1): *τὸ δὲ παρὰ νηυσὶ κράτης* (leg. *Ναυσικράτει*) *λέγομεν εὕρηκεν, ἀπὸ θέματός ἐστι τοῦ εὑρήκω καὶ τὸ πεποίηθι.* Nausicratis comici esse illam formam imperativi *εὕρηκε* agnovit Nauck (Herm. 1889, 467). Quae forma affertur etiam a Choerob. in Theod. p. 746, 25 et Anecd. Oxon. IV, p. 339, 21.

NICOCHARES.

1.

Νηρῆδες.

Lex Messan. 281 r 13: *Νηρῆδες σὺν τῷ ι ὡς Βρισῆδες Ἐρεχθῆδες Καδμῆδες Οἰνῆδες Χρυσῆδες· συναιροῦντες γὰρ ἔλεγον Ἀττικοί· Νικοχάρης Γαλατείᾳ.* — Cfr. Men. fr. 17 D; Et. M. 604, 54. Suid. s. v. *Νηρῆδες.* Choerob. dict. 243, 33. Apollon. de pron. 87, 13 Schneid.

2.

τὸν ἀναλφάβητον, τὸν ἄπονον.

Phot. Berol. 115, 27: *ἀναλφάβητος· ἐδόκει μὲν εἶναι εὐτελές. Νικοχάρης δὲ αὐτὸ ἐποίησεν ἀρχαῖον χρησάμενος ἐν Γαλατείᾳ οὕτως· ‚τὸν ἀναλφάβητον κτλ.' ταῦτα ὁ Φρύνιχος.* — Suid. *ἀναλφάβητος· ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος* (ex Procop. Arc. c. 6, p. 40, 1 Haury). — Hes. *ἀναλφάβητος· ἀπαίδευτος.* — Cfr. Epigr. adesp. 553 Brunck: *ἀναλφάβητος οὗτοσὶ στιχογράφος, | ἄνους, ἄφρων, ἄγροικος, αὐθάδης, λάλος.* — Philyl. fr. 2 K. — Athen. IV, p. 176 e. — De verbo *ἄπονος* i. q. laboris fugiens cfr. Xen. Hell. 3, 4, 19: *μαλακοὺς καὶ ἀπόνους.*

Polyphemum his verbis rideri probabiliter suspicatur Koerte (Burs. Jrsb. 1907, 250).

Ex incertis fabulis.

3.

ἀλλ' εἰλήμμεθα

λαβὴν ἄφυκτον.

Lex. Sabbait. 3, 10: *ἄφυκτον λαβήν· ὁ λόγος ἐναργής· τροπικῶς ἀπὸ τῶν παλαιστῶν. Νικοχάρης· ‚ἀλλ' εἰλήμμεθα κτλ.'* — Cfr. Plut. Mor. p. 186 d: (de Alcibiade) *ἔτι παῖς ὢν ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ.* Improprie Plut. Mor. p. 78 b: *ὁ γὰρ ἀνέκπληκτος ἐν τούτοις καὶ ἄτεγκτος ἤδη δῆλός ἐστιν εἰλημμένος ἣν προσήκει λαβὴν ὑπὸ φιλοσοφίας.* — Dion. Halic. de adm. vi in Dem. § 18 (I, p. 166, 17 Usen.): *τοῖς ἀθληταῖς τῆς ἀληθινῆς λέξεως ἰσχυρὰς τὰς ἁφὰς προσεῖναι δεῖ καὶ ἀφύκτους τὰς λαβάς.*

4.

εἰ πεύσομαί <σὲ κἂν> τὸν ἀηδόνιον ὕπνον
τῆς νυκτὸς ἀποδαρθόντα, σαυτὸν αἰτιῶ.

Phot. Berol. 39, 1: *ἀηδόνειος... ὕπνος Νικοχάρης· ‚εἰ πεύσομαι κτλ.'* — Idem fragmentum mutilatum iam ex Bekk. An. 349, 8 innotuit (Nicoch. fr. 16 K). — Cfr. Aelian. Var. hist. 12, 20: *λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν.* Hes. *ἀηδόνειος· ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον, ἐπὶ δὲ λύπης τὸ σφοδρότατον.* Suid. *ἀηδών· οὐδ' ὅσσον ἀηδόνες ὑπνώουσιν.* Paroem. gr. I, p. 433, 7 Leutsch: *οὐδ' ὅσον ἀηδόνες ὑπνοῖ· ἐπὶ τῶν ἀγρυπνούντων· δήλη γὰρ οὖσα ἡ ἀηδὼν ἀγρυπνεῖ.* — Obdormiverat servus et ero se purgans dixerat: *οὐδ' ἀηδόνιον κατέδαρθον,* cui erus: *εἰ πεύσομαί σε κτλ.'* (Kock I, p. 774).

v. 1. *ἀηδόνιος* Wilam.] *ἀηδόνειος b.* — 2. *ἀποδαρθόντα* Wil.] *ἀποδαρθέντα* cod. *b.* — Versus sic ut scripsi supplevit Wilamowitz (Sitzungsb. 1907, 3). — Reitzenstein (p. XXIV) collatis eiusdem Phot. Berol. 39, 4: *ἀηδόνος· ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον, ἐπὶ δὲ λύπης τὸ σφοδρότατον* corrigendum proponit: *εἰ πεύσομαί <σε> τῶν ἀηδόνων ὕπνον κτλ.* — Leeuwen (Mnem. n. 1907, 256) formam traditam *ἀηδόνειος* defendit collatis aliis adiectivis, quae ab animantium nominibus ducta sunt, ut *κύνειος ἵππειος βόειος.* At formam *ἀηδόνιος* solam esse rectam iam Hermann (Opusc. III, 306) probaverat. Idem Leeuwen versum primum scribendum proponit: *εἰ πεύσομαι τὸν ἀηδόνειον <μόνον> ὕπνον κτλ.,* quod iam Naber (Mnem. n. 1880, 41) coniecerat.

5.

ἀμιθρεῖν.

Phot. Berol. 92, 6: *ἀμιθρεῖν· τὸ ἀριθμεῖν· Νικοχάρης.* — Eust. p. 1801, 21: *ἰστέον δὲ ὅτι Ὅμηρος μὲν ὁ γλυκὺς ἀριθμεῖν καὶ νῦν καὶ ἀλλαχοῦ λέγει κοινότερον· καινολόγος δέ τις ποιητὴς μεταθεὶς ἀμιθρεῖν λέγει τὸ ἀριθμεῖν,* Callimachum haud dubie dicens, qui Cer. 86: *ἢ ἐν Ὄθρυι ποίμνι' ἀμιθρεῖ* scripserat. — Et. Mag. 83, 42: *ἀμιθρῆσαι· Σιμωνίδης τὸν ἀριθμὸν ἀμιθρὸν εἶπε καθ' ὑπέρ-*

ϑεσιν. ἐκ δὲ τοῦ ἀμιϑρὸς ἀμιϑρῶ ἀμιϑρήσω ἀμιϑρῆσαι, τὸ ἀριϑμῆσαι. — Phoenix Coloph. (Athen. XII, p. 530 e): οὐ λεωλογεῖν ἐμάνϑαν', οὐκ ἀμιϑρῆσαι. — Herond. 6, 6: τὰ κρῖμν' ἀμιϑρεῖς.

7.

ῥηγνὺς δὲ πολλὰς κυμάτων ἀναρρόας.

Phot. Berol. 120, 25: ἀναρρόας κυμάτων· Νικοχάρης· ,ῥηγνὺς κτλ.' — Cfr. Il. Σ, 67: ῥήγνυτο κῦμα. — Athen. VIII, 332 e: μέχρι οὗ ἂν πάλιν ὑπολαβὸν αὐτὸν τὸ κῦμα κατενέγκῃ μετὰ τῆς ἀναρροίας εἰς τὴν ϑάλατταν. — Versum ex Amymone desumptum esse suspicatur Koerte (Burs. Jhrsb. 1907, 250). — Parodia est.

ῥηγνύς Reitz.] ῥήγυσι *b*. — ἀναρρόας corr.] ἀναρροάς b. De accentu cfr. Arcad. (Herodian.) I, p. 305, 9 Lentz: τὸ δὲ ἀναρρόη παροξύνεται. Eust. 992, 57: τά εἰς ῃ λέγοντα... μετὰ προϑέσεως μὲν φυλάσσει τὸν τόνον, οἷον... ἐπιρροή· τὸ ἀναρρόη σημειωτέον βαρυνόμενον.

NICOSTRATUS.

1.

<οὐκ> ἀναβεβήκει πώποτε
ἐφ' ἅμαξαν, ἀλλ' ἐφ' ἵππον.

Phot. Berol. 91, 26: λέγουσι δὲ καὶ ἅμαξαν δασέως καὶ καϑημαξευμένα, καὶ ὅλως τῇ δασείᾳ προσῳδίᾳ χαίρουσιν οἱ Ἀττικοί... καὶ τὸ ἁμάξιον οὕτως λέγουσι ϑαμάξιον, καὶ <οὐκ> ἀναβεβήκει κτλ.' Νικόστρατος Παρακολυμβώσῃ. Cfr. Eust. 1387, 9: ϑαμάξιον ἀντὶ τοῦ τὸ ἁμάξιον, ὅτι ἡ λέξις αὕτη ἐλέγχει δασύνεσϑαι τὴν ἅμαξα φωνήν. — Id. 1636, 27. — Nicostrati fabula, quae inscriberetur Παρακολυμβῶσα, adhuc ignota erat neque alius poeta comicus hoc indice usus esse videtur. De voce παρακολυμβᾶν (iuxta natare) cfr. Heron. Alex. Autom. p. 265 (I, p. 414, 9 Schmidt): πολλάκις παρεκολύμβων δὲ καὶ δελφῖνες, ὁτὲ μὲν εἰς τὴν ϑάλατταν καταδυόμενοι, ὁτὲ δὲ φαινόμενοι.

1. πώποτε E. Schwartz] πώποτ' *b*. — ἵππον Reitz.] ἵππων *b*.

PHERECRATES.

1.

ἀμφίμαλλον.

Phot. Berol. 102, 18: ἀμφίμαλλον· ἀμφίμιτον· <τοῦτο> ἀπὸ τοῦ μιτώσασϑαι. περὶ ὃ τὸν μίτον εἰλοῦσιν ἐν τῷ μιτοῦσϑαι. Φερεκράτης Ἀργίοις. Similiter Hes. ἀμφίβαλλος (Musur. ἀμφίμαλλος)· ἔνιοι τὸν ἐν τοῖς ἱστοῖς καῖρον ἀποδιδόασιν. καῖρον δὲ τὸν μίτον ἔλε-

γον. Aliter Poll. VII, 57: τὸν ἀμφίμαλλον χιτῶνα δασὺν καὶ ἀμφίμιτον. Cfr. Hes. ἀμφιποκοι· τάπητες ἀμφίμαλλοι. — id. ἀμφιτάπης· χιτὼν ἀμφοτέρωϑεν ἔχων μαλλοὺς. — Eust. 746, 40: ἀμφίμαλλοι τάπητες οἱ ἐξ ἑκατέρων τῶν μερῶν δασεῖς. — Haud dubium est, quin Photius duas glossas: ἀμφίμαλλον et ἀμφίμιλλον (p. 103, 1) contaminaverit. Pherecrates autem voce ἀμφίμαλλον tunicam utrimque villosam dixerit.

ἀμφίμαλλον Reitz.] ἀμφίμαλον *b*.

2.

ὦ Ζεῦ, καλῶς γ' ἀνταποδίδως μοι τὴν χάριν.

Phot. Berol. 145, 24: ἀνταποδίδως· Φερεκράτης Ἀνϑρωφηρακλεῖ· ‚ὦ Ζεῦ κτλ.' — Cfr. Thuc. 3, 63: οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε. — Heracles haec loqui videtur. — Titulus fabulae Ἀνϑρωφηρακλῆς adhuc ignotus erat neque alius quisquam poeta fabulam cognominem scripsisse videtur. Cfr. eiusdem poetae fabulam Ψευδηρακλῆς.

Ἀνϑρωφηρακλεῖ Reitz.] ἀνθρωφηραλ^{εῖ} (aut -λ^{ᾶ}) *b*.

3.

ἀνταπόδος.

Phot. Berol. 145, 24: ἀνταποδίδως· Φερεκράτης Ἀνϑρωφηρακλεῖ· (sequitur fr. 2 D). καὶ ἀνταπόδος ὁ αὐτός. — Ad fabulam Ἀνϑρωφηρακλῆς referri potest.

4.

ἀνὴρ ἀναρριπίζεται.

Phot. Berol. 120, 16: ἀναρριπίζεται· Φερεκράτης Ἀυτομόλοις· ‚ἀνὴρ κτλ.' — Cfr. Hes. ἀνερριπιϑῆ· ἀνεκινήϑη (vel ἐξεκάη). Zonar. 206: ἀναρριπίζειν· κινεῖν, ἀνεγείρειν.

ἀνήρ Herw. BphW. 1907, 285 et Koerte Burs. Jahrsb. 1911, 250] ἀνὴρ *b* et Reitz.

5.

ῥαίνειν, ἀνακορεῖν ἀγοράς.

Phot. Berol. 113, 1: ἀνακορεῖν καὶ κορεῖν· Φερεκράτης Δουλοδιδασκάλῳ· ‚ῥαίνειν κτλ.' — Cfr. Phryn. 22, 10 Borr.: ἀνακαλλύνειν· τὸ σαίρειν, ὃ καὶ ἀνακορεῖν <λέγεται>. Et sic etiam Phot. Berol. 113, 6: ἀνακαλλύνειν· τὸ σαίρειν, ὅπερ καὶ ἀνακορεῖν λέγεται, καὶ εἰκότως· κάλλυντρον γὰρ καὶ κόρημα καλοῦσι τὸ σάρον· Φρύνιχος Ποαστρίαις (sequitur fr. 2 D).

Senarii initium restituit Herw. (BphW. 1907, 285) addito τὰς ante ἀγοράς.

6.

ἐβάδιζον δ' ἀπὸ
δείπνου· κνέφας δ' ἦν ἄρτι κούκ ἀωρία.

Lex. Sabbait. 4, 18: *ἀωρί, ἀωρία· Φερεκράτης Κραπατάλοις· ,ἐβάδιζον κτλ.' λέγουσι δὲ καὶ ἀωρίαν καὶ τὴν ὥραν* (*τὸ παρὰ τὴν ὥραν* Papadop. coll. Phryn. 4, 8 Borr.: *ἀωρίαν ἥκειν· οἷον παρὰ τὴν δέουσαν ὥραν* et Bekk. An. 476, 10: *ἀωρι, ἀωρία· τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν*). Versus distribuit Reinach (Rev. des ét. gr. 1892, 324). — Cfr. Ar. Ach. 23: *ἀλλ' ἀωρίαν ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς.*

2. *δ' ἦν* Pap.] *δηνες* cod. — *κούκ ἀωρία* Pap.] *κουκαωρί* cod.; *κἄτ'* (= *καὶ ἔτι*) *ἀωρία* malit Blayd. Adv. II, 344.

7.

ἀμφέξομαι.

Phot. Berol. 98, 15: *ἀμφέξομαι· τὸ ἀμφιέσομαι. Φερεκράτης Μυρμηκανθρώποις.* — Cfr. Philetaer. fr. 19 K: *ἀμφέξει.* — Ar. Plut. 897 et passim.

8.

ἀνελεύθερον σῶμα.

Phot. Berol. 131, 19: *ἀνελεύθερον σῶμα· Φερεκράτης Μυρμηκανθρώποις.*

σῶμα b] Pherecratem *στόμα* dixisse probabiliter coniecit Naber (apud Leeuw. Mnem. n. 35, 268). Cui coniecturae favet id, quod in Bekk. Anecd. 397, 1 legitur: *ἀνελεύθερος· ὁ μικρολόγος· ἢ ὁ ἐκτὸς τῆς ἀληθείας ποιῶν τι.* Cfr. Ar. fr. 685 K. Similiter in Sophocl. fr. 678 N. *ἀκόλαστον στόμα* (pro *σῶμα*) scribendum esse putaverat Cobet N. L. 428.

9.

τί δ' αὐτὸ λίαν ὧδε λιπαρεῖς θεόν;

Etym. Genuin. A (Reitzenstein, Index schol. Rostoch. 1891/2 p. 12): *λιπαρεῖν· σημαίνει τὸ παρακαλεῖν, ὡς παρὰ Φερεκράτει ἐν Πετάλῃ· ,τί δ' αὐτὸ κτλ.' παρὰ τὸ λίαν <καὶ τὸ> παρεῖναι.* Cfr. Ar. Ach. 452: *γενοῦ γλίσχρος προσαιτῶν λιπαρῶν τ'.*

τί δ' αὐτὸ λίαν ὧδε corr. Wilam.] *τὴ δαὐτῶ λίαν ὅδε* cod. A; *τί δῆτα λίαν* malit Nauck (Mél. VI, 69).

10.

ὥστ' ἀνέρρωγε<ν> τὸ φώνημ' εὐθὺς ὀξὺ καὶ μέγα.

Phot. Berol. 133, 26: *ἀνέρρωγε· Φερεκράτης Τυραννιδι· ,ὥστ' κτλ.'* — Cfr. Ar. Eq. 626: *ἐλαφίβροντ' ἀναρρηγνὺς ἔπη.*

Ex incertis fabulis.

11.

ζῆϑι.

Etym. Genuin. cod. A (Reitzenstein, Index schol. Rostoch. 1891/2 p. 12) s. v. ζῆ... τὸ... ζῆϑι κατ' ἐπέκτασιν ἔχει τὴν Θ/ συλλαβήν. εὕρηται καὶ παρὰ Φιλήμονι μετὰ τῆς προϑέσεως σύζηϑι. εὕρηται <δὲ> καὶ παρὰ Φερεκράτει. Imperativum ζῆϑι vitio ortum esse ex imperf. ἔζη ἐζῆτε putat Cobet (Nov. lect. 494). At recte Reitzenstein suspicatur imperativo ζῆϑι comicos usos fuisse, tragicos autem formam ζῆ usurpasse, quam posteri unam vere Atticam dicebant.

12.

ὦ Χάριτες, ἀφροδίσιόν τιν' ὑμέναιον ὑμνεῖτε γαμικόν τε.

Lex. Sabbait. 2, 22: ἀφροδίσιον ὑμέναιον· Φερεκράτης· ὦ Χάριτες κτλ.' — Cfr. Athen. 4, p. 130 a: ᾀδόντων γαμικὸν ὕμνον.

τιν' Reinach (Rev. des ét. gr. 1892, 324) τὶς cod. — ὑμνεῖτε Reinach] ὑμνεῖ cod. — γαμικόν τε Kock (RhM. 1893, 582) ex codicis lectione γαμικότ] γεγαμηκότι Pap. et Reinach.

Trochaeo — creticos esse putat Reinach improbante Kockio, qui dubitabundus hosce versus restituerit: ὦ Χάριτες <ἔλϑετ'>, ἀφροδίσιον | <νῦν> τιν' ὑμέναιον ὑμνεῖτε γαμικόν τε ⏑. Sed omnia hic incerta sunt.

13.

οὐδ' εἰς Ἑταίρας οὐδ' Ἀφροδίτου πώποτε.

Lex. Sabbait. 3, 7: <Ἀφρόδιτος, ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρϑάνης, Πρίαπος,> καὶ Ἀριστοφάνης μέμνηται Ἥρωσιν, Ἀπολλοφάνης Κρησίν (fr. 1 D)· ,Ἀσκληπιός, Κύννειος, Ἀφρόδιτος, Τύχων'. Φερεκράτης· ,οὐδ' εἰς κτλ.' — Cfr. Apollodor. Athen. apud Athen. 13, p. 571 c (FHG. I, 431): Ἑταίραν δὲ τὴν Ἀφροδίτην τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνάγουσαν· τοῦτο δ' ἐστὶν φίλας. — Macrob. Saturn. 3, 8: apud Calvum Acterianus affirmat legendum pollentemque deum Venerem, non deam: signum etiam eius est Cypri barbatum corpore et veste muliebri cum sceptro ac statura virili, et putant eandem marem et feminam esse; Aristophanes (fr. 702 K) eam Ἀφρόδιτον appellat.

Verba Ἀφρόδιτος usque ad Πρίαπος addidit Papad. ex Bekk. An. 472, 24 et Bachm. An. I, p. 173, 8. — εἰς Pap.] εἶς cod.

14.

ἀναστῶ.

Phot. Berol. 122, 27: ἀναστῶ· ἀντὶ τοῦ ἀναστήσω. Κράτης (fr.

7 D), *Φερεκράτης καὶ Ἄρχιππος* (fr. 5 D). Coniunctivum aor. esse non fut. probabiliter suspicatur Herwerd. BphW. 1907, 286.

15.

ἀνάσχωμαι.

Phot. Berol. 123, 18: *ἀνάσχετος· Δημοσθένης*(?) *καὶ Θουκυδίδης* (I, 118). *καὶ ἀνάσχωμαι Φερεκράτης, ἀνασχήσομαι δὲ Ἀριστοφάνης* (Ach. 299).

ἀνάσχωμαι Reitz.] *ἀνάσχομαι b.*

16.

ἀνδράποδον (de serva).

Phot. Berol. 125, 27: *ἀνδράποδον· καὶ ἐπὶ θηλειας εἴρηκε Φερεκράτης.*

17.

ἀνδροκάπραινα καὶ μεθύση καὶ φαρμακίς.

Phot. Berol. 127, 27: *ἀνδροκάπραινα· Φερεκράτης· ‚ἀνδροκάπραινα κτλ.'* — Cfr. Hermipp. fr. 10 K: *πασιπόρνη καὶ κάπραινα.* — Ar. Nub. 555: *γραῦν μεθύσην.* Cfr. Phryn. Lobeck. p. 151: *μέθυσος ἀνὴρ οὐκ ἐρεῖς, ἀλλὰ μεθυστικός· γυναῖκα δὲ ἐρεῖς μέθυσον καὶ μεθύσην;* et sic etiam Antiatt. Bekk. 107, 9; a qua norma descivit Menander (fr. 67 K), *μεθύσους τοὺς ἐμπόρους* dicens. — Ar. Nub. 749: *γυναῖκα φαρμακίδ'.* Dem. 25, 79 alii. Cfr. Cleomed. de sublim. p. 135, 18 Bake: *φαρμακίδες εἰσὶν αἳ καθαιροῦσιν αὐτήν* (sc. lunam). — Versus ad fabulam *Κοριαννώ* referri potest.

φαρμακίς Reitz.] *φαρμακής b.* — Notanda est anaclasis pedis primi.

18.

ἀνέζεσεν αἷμα.

Phot. Berol. 129, 9: *ἀνέζεσεν αἷμα· ἐπὶ ὀργιζομένου σφόδρα θεὶς ἂν τὴν φωνήν· Φερεκράτης.* Phryn. 48, 8 Borr.: *ἀνέζεσεν αἷμα· ἐπὶ ὀργιζομένου.* — Cfr. Apollon. Rhod. IV, 391: *ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον.*

19.

ἀνούστατος.

Phot. Berol. 144, 11: *ἄνους· Πλάτων Νόμων ιβ'* (p. 962 c), *ἀνούστερος δὲ καὶ ἀνουστέρα Σοφοκλῆς* (cfr. fr. 530, 1 N²: *ἀνουστέρως* Cob., *ἀνούστεραι* Gaisf.), *ἀνούστατος δὲ Φερεκράτης.*

20.

ἀντιβλέπει.

Phot. Berol. 146, 26: *ἀντιβλέπει· Φερεκράτης.* — Cfr. Men. fr. 586 K: *ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι.*

21.

μείξοφρυς
μέλαιν' ἐπιεικῶς κατ' ἐμέ.

Basilii [Minimi] Schol. Gregor. Naz. (Migne, Patrol. gr. vol. 36, p. 903 b): *κατά· σημαίνει δὲ ἡ πρόθεσις καὶ ὁμοιότητα. Φερεκράτης· ‚μείξοφρυς κτλ.', ἀντὶ τοῦ ὁμοία ἐμοι.* — Indicavit Nauck (Mél. VI, 69). Cfr. Poll. 2, 49: *σύνοφρυς ἀνὴρ καὶ γυνή· τὸν δὲ τοιοῦτον μίξοφρυν Κρατῖνος* (fr. 430 K) *καλεῖ.* — Loqui videtur mulier de altera muliere pulchra ipsi simili.

μείξοφρυς Nauck] *μιξόφρυξ* cod.

Fragmentum dubium.

22.

Φερε]κράτους.

[ἀνὴρ γὰρ ὅστις ἀπ]οθανούσης δυσφορ[εῖ]
[γυναικός, οὗτος οὐκ] ἐπίστατ' εὐτυχεῖν.

Berliner Klassiker-Texte V, 2 p. 123. — E florilegio quodam in papyro Berol. 9772 servato exscripsit atque supplevit Wilamowitz Pherecrati versus adsignans. — Cfr. com. adesp. 1265: *γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν.*

PHILEMO.

1.

πρὸς τῶι μυροπωλίωι γὰρ ἀνθρώπων τινῶν
ἤκουσα Χαλκοῦν περιπατεῖν κλέπτην τινά·
ἄπειρος ὢν δὲ τοῦ λεγομένου πράγματο[ς],
Ἀριστομήδη 'νθ' ἡρόμην παριόνθ' ὁρῶν.
5 *ὁ δ' ἐνήλατ' εὐθύς μοι παραστὰς [τ]ῶι σκ[έ]λει*
παίει τε λὰξ πύξ, ὥστε μ' ἐκθανεῖν· ἐπεὶ
μόλις γε φεύγων ἐξέπεσον ἄλλῃ λᾳ[θρ]ᾳ.

Didymi Comment. de Demosth. X, 70 (Berliner Klassiker-Texte I, p. 45, col. 9, 62): *δύο Ἀριστομήδεις εἰσὶν... ἕτερος δὲ ὁν νῦν ὁ Δημοσθένης διέξεισιν, Ἀθηναῖος, ὁ Χαλκοῦς λεγόμενος... καὶ οἱ κωμικοὶ δ' αὐτοῦ μνημονεύουσι καθάπερ Φιλήμων μὲν ἐν Λιθ[ο]γλύφῳ· ‚πρὸς τῷ κτλ.'*

v. 4. *Ἀριστομήδην ἠρόμην* poetam dedisse suspicantur editores et Wagner (Symb. 26). — v. 6. *ἐκθανεῖν δέει· | μόλις τε* Blass (Archiv f. Papyr.-Forsch. III, 291). — v. 7. *γε* Wilam.] *τε* pap. — *λάθρα* incertum est.

Hoc fragmento ac duobus Timoclis (fr. 1, 2 D) eodem loco commemoratis illuditur Aristomedes, *οὗ παρόντος σφόδρα τηρεῖν δεῖ τὰ σκεύη*, sicut ipse dicit Demosthenes X, 73: *σοὶ μὲν γὰρ ἦν κλήπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι*. Fuit autem Aristomedes trierarchus a. 356/5. Cfr. de eo Kirchner., Prosop. att. I. 2013; Pauly-Wissowa, Realenzykl. I, 946; Plut. Dem. 11; Eust. 1243, 19; CIG II, 2 p. 453 (n. 1006).

Fabula *Λιθογλύφος* adhuc ignota erat.

2.

ἀμύγδαλα.

Phot. Berol. 97, 27: *ἀμυγδαλῆ· περισπᾶται τὸ δένδρον, ἀμυγδάλη δὲ ὁ καρπὸς παροξυνεῖται. Εὔπολις Πόλεσιν* (sequitur fr. 15 D)· *ἀμύγδαλα δὲ ὡς ἡμεῖς τὸν καρπὸν καὶ Ἕρμιππος Φορμοφόροις* (fr. 63, 20 K; cfr. Antiatt. Bekk. 82, 19) *καὶ Φιλήμων ἐν Μύστιδι καὶ Δίφιλος Τελεσίᾳ* (fr. 79 K).

3.

The Oxyrhynchus Papyri t. IX, p. 150: in Euripidis vita a Satyro scripta leguntur (fr. 39, col. VII. v. 32): *μαρτυρ[ε]ῖ δ' αὐτῷ καὶ τοῦτ' [ε]ἰκότως ὁ Φι[λ]ήμων ἐν[τα]υθι·*

Εὐρι[πί]δης πού [φη]σιν οὔτ<ω>ς, [ὅς] μόνος
δύ[να]ται λ[έ]γε[ιν...

Supplevit Hunt, qui v. 1. *οὕτως* pro tradito *ουτος* reposuit. Philemonem maxima admiratione Euripidem prosecutum esse testatur Euripidis vitae auctor anonymus (c. 6), cum dicat: *οὕτω δὲ αὐτὸν Φιλήμων ἠγάπησεν, ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν* (Philem. fr. 130 K)· *‚εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες | αἴσθησιν εἶχον, ἄνδρες, ὥς φασίν τινες, | ἀπηγξάμην ἂν ὥστ' ἰδεῖν Εὐριπίδην.'*

PHILETAERUS.

1.

αὐτόματος.

Lex. Sabbait. 1, 10: *αὐτόματος· θηλυκῶς Φιλέταιρος.* — *αὐτομάτη* legitur: Ar. Pac. 665; Lys. 431; Cratin. fr. 315; Demosth. 54, 12.

PHILONIDES.

1.

περὶ δ' ὧν σὺ λέγεις, λόγος ἐστὶν ἐμοὶ πρὸς Ἀθηναίους κατὰ χειρός, ὃν ἐγὼ λογιοῦμ' ἐξ ἀτελείας, τῷ δήμῳ δ' οὐδὲν ἀνοίσω.

Phot. Berol. 143, 9: ἀνοίσω· λογιοῦμαι, ἐπὶ ψήφου. ἔστι δέ, ὡς δοκεῖ, ἰδιωτικόν. Φιλωνίδης Κοθόρνοις· ,περὶ δ' ὧν κτλ.' — Phryn. 49, 7 Borr.: ἀνοίσω· ἀντὶ τοῦ λογιοῦμαι· ἐπὶ ψήφου. Cfr. Lys. 30, 5: τῆς αὐτῶν ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀναφέρουσι. Diodor. 15, 41: περὶ πάντων ἀναφέρουσι τῷ βασιλεῖ. — Dem. 59, 39: ὡς ἐξ ἀτελείας ἕξων καλὴν ἑταίραν. — Polluc. IV, 46: οὐκ ἐξ ἀτελειας μαθεῖν· οὐκ ἀμισθὶ μαθεῖν. — Non e parabasi, ut Reitzenstein putat, sed ex agone haec sumpta et Therameni eiusve adversario tribuenda esse probabiliter suspicatur Koerte (Burs. Jahresb. 1911, 251).

